UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

**Parisiis, 1644**

Item eiusdem.

**urn:nbn:de:hbz:466:1-15473**

Visual Library

ad te? Dico tibi, male ſenex, vt periurus iudicaberis in die iudicii. Reſpondit ei incluſus: Quia iuraui quidem, iuraui vtique; & quia periuraui, ſcio: verum meum Dominum & factorem periuraui; te tamen non audiam.

## *De eodem Limonario.*

Narrauerunt mihi iidem patres & hoc dicentes: quia in his diebus mulier quædam Chriſti amatrix in finibus Apamiæ puteum fodit: & multa expendens, & multum laborem faciens, & in profundum multum deſcendens, non reperit aquam: & in defectione animi multa erat mulier & propter laborem & propter ſumptus. Semel ergo in ſomnis videt mulier quemdam dicentem ſibi: Mitte, fer ſimilitudinem abbatis Theodoſii, qui in Scopulo eſt; & aquam per eum Deus præbebit tibi. Mulier autem miſſis duobus hominibus ſuis, accepit iconam ſancti; & depoſita ea in puteum, ſtatim & abſque dilatione aqua exiit, ita vt medietas putei repleretur. Detulerunt ergo nobis ex eadem aqua, & bibimus, & glorificauimus Deum noſtrum.

## *Item eiuſdem.*

Narrauit nobis Dionyſius presbyter eccleſiæ Aſcalonis de abbate Ioanne anachoreta, dicens: Quia hic magnus in præſenti generatione fuit homo, & ad *ſtatum ſuum Deo beneplacentem hoc de eo miraculum aſſerebat. In ſpecu, inquiens, ſenex ſedebat in partibus Sochus poſſeſſionis, ab Hieroſolymis miliariis viginti ferme diſtantis. Imagi-

* Gr. probandum ſtatum

τί πρὸς σέ; λέγω σοι κακόγερε, ὡς ἐπίορκος ἔχεις κριθῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. ἀπεκρίθη αὐτῷ ὁ ἔγκλειστος· ὅτι μὲν ὤμοσα, ὤμοσα· καὶ ὅτι ἐπιώρκησα, οἶδα· πλὴν τὸν δεσπότην καὶ ποιητὴν ἐπιώρκησα, σοῦ δὲ οὐ μὴ ἀκούσω.

## Ἐκ τοῦ αὐτοῦ Λειμωναρίου.

Διηγήσαντο ἡμῖν οἱ αὐτοὶ πατέρες καὶ τοῦτο λέγοντες· ὅτι ἐν ταύταις ταῖς ἡμέραις γυνή τις φιλόχριστος εἰς τὰ μέρη Ἀπαμείας φρέαρ ὤρυξε· καὶ πολλὰ δαπανήσασα, καὶ εἰς βάθος πολὺ κατελθοῦσα, οὐχ εὗρεν ὕδωρ· καὶ ἐν ἀθυμίᾳ πολλῇ ὑπῆρχεν ἡ γυνὴ καὶ διὰ τὸν κόπον καὶ διὰ τὰς δαπάνας. ἐν μιᾷ οὖν κατὰ τοὺς ὕπνους θεωρεῖ ἡ γυνή τινα λέγοντα αὐτῇ· πέμψον φέρε τὴν ὁμοίωσιν τοῦ ἀββᾶ Θεοδοσίου τοῦ εἰς τὸν Σκόπελον, καὶ τὸ ὕδωρ δι' αὐτοῦ ὁ θεὸς παρέχει σοι. ἡ δὲ γυνὴ πέμψασα δύο ἀνθρώπους αὐτῆς, ἔλαβε τὴν εἰκόνα τοῦ ἁγίου· καὶ χαλάσασα αὐτὴν ἐν τῷ φρέατι, εὐθὺς καὶ παραχρῆμα τὸ ὕδωρ ἐξῆλθεν, ὥστε τὸ ἥμισυ τοῦ φρέατος πληρωθῆναι. ἔφερον οὖν ἡμῖν ἐκ τοῦ αὐτοῦ ὕδατος, καὶ ἐπίομεν, καὶ ἐδοξάσαμεν τὸν θεὸν ἡμῶν.

## Τοῦ αὐτοῦ.

Διηγήσατο ἡμῖν Διονύσιος ὁ πρεσβύτερος τῆς ἐκκλησίας Ἀσκάλωνος περὶ τοῦ ἀββᾶ Ἰωάννου τοῦ ἀναχωρητοῦ, λέγων· ὅτι οὗτος μέγας ἐν τῇ παρούσῃ γενεᾷ γέγονεν ἄνθρωπος· καὶ πρὸς σύστασιν τῆς αὐτοῦ πρὸς θεὸν εὐαρεστήσεως τοῦτο περὶ αὐτοῦ τὸ θαῦμα. ἐν σπηλαίῳ, φησὶν, ὁ γέρων ἐκάθητο εἰς τὰ μέρη Σοχοῖς τοῦ κτήματος ἀπὸ μιλίων μικρὸν πρὸς Ἱεροσόλυμα εἴκοσιν. εἰκό-

ANNO CHRISTI 787.

να δὲ εἶχεν ὁ γέρων ἐν τῷ σπηλαίῳ τῆς ἁγίας ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἔχουσαν ἐν ἀγκάλαις Χριστὸν τὸν θεὸν ἡμῶν. καθότι οὖν ἐβούλετο πώποτε ἀπελθεῖν ἢ εἰς ἐρήμοις μακρὰς, ἢ εἰς Ἱεροσόλυμα ἐπὶ τῷ προσκυνῆσαι τὸν ἅγιον σταυρὸν καὶ τοὺς ἁγίους τόπους, ἢ καὶ εἰς τὸ Σινᾶ ὄρος προσεύξασθαι, ἢ καὶ εἰς μάρτυρας ἀφεστῶτας Ἱεροσολύμων πολλοῖς διαστήμασιν· ἦν γὰρ ἄγαν φιλομάρτυς ὁ γέρων· καὶ νῦν μὲν εἰς τὸν ἅγιον Ἰωάννην εἰς Ἔφεσον, νῦν δὲ εἰς τὸν ἅγιον Θεόδωρον εἰς Εὐχάϊτα, ἢ εἰς τὴν ἁγίαν Θέκλαν εἰς Σελεύκειαν, ἢ εἰς τὸν ἅγιον Σέργιον εἰς Ἀραφας· ἐσκεύαζε τὴν κανδήλαν, καὶ ἧπτεν, ὡς εἶχε συνήθειαν. καὶ πρὸς ἱκετείαν στὰς τὴν πορείαν αὐτοῦ κατευθῦναι, ἔλεγε πρὸς τὴν δέσποιναν, εἰς τὴν εἰκόνα αὐτῆς προσέχων· ἁγία δέσποινα θεοτόκε, ἐπειδὴ ὁδὸν ἔχω μακρὰν βαδίσαι, πολλῶν ἡμερῶν προθεσμίαν ἔχουσαν, τῆς κανδήλας σου φρόντισον, καὶ ἄσβεστον αὐτὴν κατὰ τὴν ἐμὴν πρόθεσιν φύλαξον. ἐγὼ γὰρ τὴν σὴν βοήθειαν συνοδοιπόρον ἔχων ἀπέρχομαι. καὶ ταῦτα πρὸς τὴν εἰκόνα φήσας ἀπήρχετο. καὶ τὴν προτεθεῖσαν πορείαν πληρῶν ὑπέστρεφε, ποτὲ μὲν διὰ μηνὸς, ποτὲ δὲ διὰ δύο καὶ τριῶν, ἔστι δὲ ὅτε καὶ διὰ πέντε καὶ ἕξ. καὶ οὕτως εὕρισκε τὴν κανδήλαν ἐσκευασμένην καὶ ἅπτουσαν, καθάπερ αὐτὴν πρὸς ὁδοιπορίαν ἐξερχόμενος εἴασε· καὶ οὐδέποτε αὐτὴν ἀφ' ἑαυτῆς σβεσθεῖσαν ἑώρακεν, οὔτε ἐξ ὕπνου διανιστάμενος, οὔτε ἐξ ἐρήμου φοιτῶν εἰς τὸ σπήλαιον.

nem autem habebat ſenex in ſpecu ſanctæ intemeratæ dominæ noſtræ Dei genitricis & ſemper virginis Mariæ, habentem in vlnis Chriſtum Dominum noſtrum. Quotieſcumque ergo volebat quoquam pergere, aut ad eremos longinquas, aut Hieroſolymam ad adorandam ſanctam crucem & ſancta loca, vel etiam in Sina monte oraturus, aut ad martyres, qui ab Hieroſolymis multis ſpatiis aberant ( erat enim amicus martyrum oppido ſenex. Nam nunc quidem ad ſanctum Ioannem Epheſum, nunc vero ad ſanctum Theodorum Euchaita, aut ad ſanctam Theclam Seleuciam pergebat, vel ad ſanctum Sergium Arapham ) perſtruebat candelam & ſuccendebat, ſicuti habebat conſuetudinem: & ad deprecationem ſtans vt iter ſibi dirigeretur, dicebat ad dominam, in imaginem eius attendens: Sancta domina Dei genitrix, quoniam viam habeo longam ad ambulandum, multorum dierum ſpatium habentem, de candela tua curam habeto, & inextinguibilem eam ſecundum meum propoſitum cuſtodi. Ego enim adiutorium tuum comitem habens, vadam. Et his ad imaginem dictis abibat; & propoſito itinere completo reuertebatur, aliquando quidem menſe vno, aliquando vero duobus vel tribus, nonnunquam quinque aut ſex moratus. & ſic inueniebat candelam ordinatam & ardentem, vt eam ad iter agendum egreſſus ſinebat: nunquamque illam a ſemetipſa extinctam vidit, neque a ſomno ſurgens, neque ab eremo rediens in ſpeluncam.

Basilius sanctissimus episcopus Ancyræ dixit: Demonstratum est, quod antiqua traditio sit sacrarum imaginum consuetudo.

Tarasius sanctissimus patriarcha dixit: Iam satiati sumus ex paternis testimoniis, & cognouimus, quia prisca traditio est venerabilium imaginum erectio. Sectatores igitur sumus sanctorum patrum.

Sancta Synodus dixit: Sectatores & concordes.

Stephanus reuerendissimus monachus dixit: Et alios codices habemus de causa sacrarum imaginum vsque ad quindecim: & vt iubetis.

Tarasius sanctissimus patriarcha dixit: Repleti sumus atque contenti.

Sancta Synodus dixit: Satis est.

Tarasius sanctissimus patriarcha dixit: Quoniam demonstratum est in præcedenti lectione, quia ab Hebræis, & paganis, & Samaritis, ac Manichæis, atque Phantasiastis accusata est ecclesia propter venerabiles imagines, & omnes certificati sumus, iustum est etiam fratrem nostrum & dilectum dominum Ioannem, & loci seruatorem apostolicarum orientis sedium, audire: habet enim quamdam relationem insinuantem, vnde cœperit imaginum subuersio.

Sancta Synodus dixit: Et quærimus domine audire de hoc.

Ioannes reuerendissimus monachus & loci seruator orientalium pontificum, a pittacio legit.

Volo ego humilis & cunctorum nouissimus ostendere cum

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκοπος Ἀγκύρας εἶπεν· ἀπεδείχθη, ὡς ἀρχαιοπαράδοτός ἐστιν ἡ τῶν ἱερῶν εἰκόνων συνήθεια. ANNO CHRISTI 787.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἤδη ἐκορέσθημεν ἐκ τῶν πατρικῶν χρήσεων, καὶ ἐπέγνωμεν, ὅτι ἀρχαία παράδοσίς ἐστιν ἡ τῶν σεπτῶν εἰκόνων ἀνάστήλωσις. ἀκόλουθοι οὖν ἐσμεν ἁγίων πατέρων.

Η ἁγία σύνοδος εἶπεν· ἀκόλουθοι καὶ σύμφωνοι.

Στέφανος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· καὶ ἑτέρας βίβλους ἔχομεν περὶ τῆς ὑποθέσεως τῶν ἱερῶν εἰκόνων ἕως τῶν δεκαπέντε· καὶ ὡς κελεύετε.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἐνεπλήσθημεν, καὶ ἠρκέσθημεν.

Η ἁγία σύνοδος εἶπεν· ἠρκέσθημεν.

Ο ἁγιώτατος πατριάρχης εἶπεν· ἐπειδήπερ ἀπεδείχθη ἐν τῇ παρελθούσῃ ἀναγνώσει, ὅτι ὑπὸ Ἑβραίων, καὶ Ἑλλήνων, καὶ Σαμαρειτῶν, Μανιχαίων τε καὶ Φαντασιαστῶν ἐνεκλήθη ἡ ἐκκλησία ἕνεκεν τῶν σεπτῶν εἰκόνων, καὶ πάντες ἐπείσθημεν, δίκαιόν ἐστι καὶ τοῦ ἀδελφοῦ ἡμῶν καὶ ἀγαπητοῦ κυροῦ Ἰωάννου τοῦ τοποτηρητοῦ τῶν ἀποστολικῶν τῆς ἀνατολῆς θρόνων ἐπακοῦσαι· ἔχει γὰρ ἵνα διήγησιν δηλοῦσαν, πόθεν ἤρξατο ἡ τῶν εἰκόνων καταστροφή.

Η ἁγία σύνοδος εἶπε· καὶ ζητοῦμεν, δέσποτα, ἀκοῦσαι περὶ τούτου.

Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων, ἀπὸ πιττακίου ἀνέγνω.

Βούλομαι ἐγὼ ὁ μέτριος καὶ πάντων ἔσχατος διηγήσασθαι μετὰ πάσης

ANNO CHRISTI 787.

ἀληθείας ἐπὶ τῆς παρούσης ταύτης ἁγίας ὑμῶν καὶ ἱερᾶς συνόδου, ὅπως, καὶ πότε, καὶ ὅθεν ἔσχε τὴν ἀρχὴν ἡ κακίστη καὶ θεοστυγὴς αὕτη τῶν χριστιανοκατηγόρων καὶ Εἰκονοκλαστῶν αἵρεσις. συντομίᾳ δὲ χρήσασθαι λόγου προαιρούμενος, διὰ χάρτου ἔκρινα καλὸν ποιήσασθαι τὴν ἐξήγησιν, ὡς ἂν μηδέν με τῆς ἀληθείας λάθοι. τοῦ τῶν ἀθέων Ἀράβων τεθνηκότος τυράννου, ἤτοι συμβούλου· Σελεμὰν ἦν οὗτος τοὔνομα· διεδέξατο τοῦτον Οὔμαρος. ὃς ἐπιβὰς τῆς ἀρχῆς, εὐθὺς μεταστειλάμενος ἀπέστρεψε τὸν ἀνάσκαφον Μασαλμᾶν ἀπὸ τῆς γῆς ταύτης πολέμιον ὄντα δυσμενῆ· ὃς τῇ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ χάριτι, καὶ τῆς αὐτὸν τεκούσης παναγίας θεοτόκου, μετ᾽ αἰσχύνης καὶ ἀπωλείας τοῦ οἰκείου τῶν Σαρρακηνῶν στρατεύματος ὑπέστρεψεν εἰς Συρίαν, ἀνύσας ὧν ἤλπισεν οὐδέν. τελευτήσαντος δὲ τοῦ Οὐμάρου, τοῦτον διαδέχεται Ἐζίδος ἀνὴρ κοῦφός τις καὶ εὐπερίφορος. ἦν δέ τις ἐν τῇ Τιβεριάδι προηγέτης τῶν παρανόμων Ἑβραίων, φαρμακομάντης, δαιμόνων ψυχοβλαβῶν ὄργανον, ὀνομαζόμενος Τεσσαρακοντάπηχυς, δυσμενὴς ἐχθρὸς τῆς ἐκκλησίας τοῦ θεοῦ. ὃς μεμαθηκὼς τὴν τοῦ κρατοῦντος Ἐζίδου κουφότητα, καὶ δὴ τούτῳ προσελθὼν ὁ παμπόνηρος οὗτος Ἑβραῖος, ἐπεχείρει μαντεύεσθαί τινα καὶ προλέγειν αὐτῷ. ὡς οὖν ἐκ τούτων εὐπαράδεκτος ἐγεγόνει καὶ εὐπαρρησίαστος τῷ τυράννῳ, ἔφη· θέλω πρωτοσύμβουλε, εὐνοίᾳ τῇ πρὸς σὲ διακείμενος, ὑποθέσθαι σοι τρόπον τινὰ εὐχερῶς καὶ ῥᾳδίως ἀνυσθησόμενον, δι᾽ οὗ σοι προστεθήσεται ζωῆς

omni veritate coram præsenti ac sancta vestra & sacra Synodo, qualiter & quando & vnde habuerit initium pessima & Deo exosa hæc Christianos accusantium & imagines confringentium hæresis. compendio dumtaxat sermonis vti procurans, per chartam iudicaui bonum fieri narrationem, quatenus nil me veritatis lateat. Arabum itaque qui sine Deo sunt, mortuo tyranno, id est, consiliario (Seleman autem erat huius nomen) ei successit Vmarus: qui ad principatum ascendens, mox accersiens pepulit * e fossa proiectum Masalmam a terra hac, cum esset hostis insanissimus: qui magni Dei & saluatoris nostri Iesu Christi gratia, & sanctissimæ Dei genitricis quæ illum peperit, cum confusione multa & perditione propriæ Sarracenorum militiæ reuersus est in Syriam, nil eorum quæ sperabat, adeptus. Mortuo autem Vmaro subrogatus est Ezidus, vir quidam leuis & mobilis. Erat autem Tiberiade ductor quidam præuaricatorum Hebræorum, veneficus diuinus, dæmonum animas lædentium organum, cognominatus Sarantapechys, impius inimicus ecclesiæ Dei. Qui videlicet nequissimus Hebræus cum didicisset imperantis Ezidi leuitatem, accessit ad eum, & cœpit diuinare quædam & prædicere ei. Ex quo igitur factum est, vt acceptus tyranno & gratus efficeretur: Volo, inquit, prime * consiliarie, pro symbolo beneuolentiæ qua circa te flagro, dictare tibi modum quemdam, per quem facilius ac celerius adipisci possis, vt addatur tibi vitæ

* Gr. e fossa proiiciendum

* Anast. verb. (sic enim Græci appellant regem Sarracenorum.)

ANNO CHRISTI 787.

longitudo, & permaneas annis triginta in hoc principatu tuo, si tamen in opus perduxeris verba mea. At insipiens ille tyrannus, mente obtusus auiditate longæuitatis (erat enim amator deliciarum & petulans) respondit: Quia quæcumque dictaueris, paratissime facio: & si voti compos extitero, maximis te honoribus recompensando locupletabo. At vero veneficus atque diuinus Hebræus ait ad eum: Iube statim absque omni dilatione vel induciis scribi per omnem principatum tuum encycliam epistolam, vt omnem imaginalem picturam siue in tabulis, siue per musiua in parietibus, siue in vasis sacris & vestibus altarium, & quotquot huiuscemodi reperiuntur in cunctis Christianorum ecclesiis, * exterminare ac perfecte deponere: nec non & quotquot in foris ciuitatum ad ornatum sunt & decorem in quacumque similitudine. Quin & satanæ maligna operatione motus falsus diuinus addidit, omnem similitudinem: * argumentatus hoc, vt importabilem ostenderet inimicitiā quam contra nos habebat. Ast tyrannus deceptione captus, huic leuitate vsus obsecundauit: & mittens deposuit ab omni prouincia quæ sub ipso erat, sanctas imagines, & residuas similitudines: & hoc modo non parcens deturpauit ecclesias Dei per veneficum Hebræum sub potestate sua sitas, antequam perueniret malum ad terram istam. Porro fugientibus Deo amabilibus Christianis, ne propriis manibus subuerterent sanctas imagines, Hebræos Deo odibiles, & vilissimos Arabes angariabant

* extermi- nent, ac p. deponant.

* Gr. callide, vt nullam suspicionem suæ contra nos inimicitiæ daret.

μῆκος, καὶ διαμείνῃς χρόνοις τριάκοντα ἐν τῇδέ σου τῇ ἀρχῇ, εἰ εἰς ἔργον ἀγάγοις τοὺς λόγους μου. ὁ δὲ ἄφρων ἐκεῖνος τύραννος καταφωραθεὶς τὸν νοῦν ἐφέσει μακροβιώσεως· ἦν γὰρ φιλοτρυφητὴς καὶ ἀκόλαστος· ἀπεκρίνατο, ὅτι γε ὅσα ἂν ὑποθῇ μοι, ἑτοίμως ποιῶ. καὶ ἐὰν τύχω * πρακτέου, μεγίσταις ἀμείψομαί σε τιμαῖς. ὁ δὲ φαρμακομάντης Ἑβραῖος φησὶ πρὸς αὐτόν· κέλευσον εὐθέως πάσης ἄτερ ἀναβολῆς καὶ ὑπερθέσεως γράψαι κατὰ πᾶσάν σου τὴν ἀρχὴν ἐγκύκλιον ἐπιστολὴν, ὥστε πᾶσαν εἰκονικὴν διαζωγράφησιν εἴτε ἐν σανίσιν, εἴτε διὰ μουσείων ἐν τοίχοις, εἴτε ἐν σκεύεσιν ἱεροῖς καὶ ἐνδυτοῖς θυσιαστηρίων, καὶ ὅσα τοιαῦτα εὑρίσκεται ἐν πάσαις ταῖς τῶν Χριστιανῶν ἐκκλησίαις, ἀφανίσαι, καὶ τέλεος καταλῦσαι· οὐ μὴν ἀλλὰ καὶ ὅσα ἐν ταῖς ἀγοραῖς πόλεων κατὰ κόσμον εἰσὶ καὶ εὐπρέπειαν οἱαδήποτε ὁμοιώματα. σατανικῷ δὲ κακουργήματι κινούμενος ὁ ψευδομάντης προσέθηκε, πᾶν ὁμοίωμα, ἀνυπόφορον δεῖξαι τὴν πρὸς ἡμᾶς ἔχθραν μηχανώμενος. ὁ δὲ ἀλιτήριος τύραννος τούτῳ κουφότατα πεισθεὶς, ἀποστείλας καθεῖλεν ἀπὸ πάσης ἐπαρχίας τῆς ὑπ' αὐτὸν τὰς ἁγίας εἰκόνας καὶ λοιπὰ ὁμοιώματα. καὶ τούτῳ τῷ τρόπῳ ἀπεκόσμησε τὰς ἐκκλησίας τοῦ θεοῦ διὰ τοῦ φαρμακοῦ Ἑβραίου ἀφειδῶς τὰς ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ, πρὸ τοῦ φθάσαι ἐν τῇ γῇ ταύτῃ τὸ κακόν. φευγόντων δὲ τῶν θεοφιλεστάτων Χριστιανῶν, τοῦ μὴ ταῖς οἰκείαις χερσὶ καταστρέψαι τὰς ἁγίας εἰκόνας, Ἑβραίους θεοστυγεῖς, καὶ οἰκτροὺς Ἄραβας ἠγγάρευον

εἰς

* ἴσ. τοῦ [illegible]

Anno Christi 787.

εἰς τοῦτο ἀποσταλέντες Ἀμηραῖοι· καὶ οὕτως ἔκαιον τὰς σεπτὰς εἰκόνας, καὶ τοὺς οἴκους τῶν ἐκκλησιῶν πῆ μὲν κατέχριον, πῆ δὲ κατέξεον. τούτων ἀκηκοὼς ὁ ψευδεπίσκοπος Νακωλείας καὶ οἱ κατ' αὐτὸν, ἐμιμήσαντο τοὺς παρανόμους Ἰουδαίους καὶ τοὺς ἀσεβεῖς Ἄραβας, καὶ ἐνύβρισαν τὰς ἐκκλησίας τοῦ θεοῦ. ἄξιον δὲ κρίνω τῆς ἱερᾶς ὑμῶν ἀκοῆς καὶ οἷον ἐδέξατο τέλος ὁ ἄθλιός τε καὶ δείλαιος ἐκεῖνος καὶ φαρμακὸς Ἑβραῖος. ὡς γὰρ τοῦτο δράσας ὁ σύμβουλος Ἐζίδος, οὐ πλείω τῶν δύο ἥμισυ χρόνων βιώσας ἀπέθανε, καὶ ἀπῆλθεν εἰς τὸ αἰώνιον πῦρ, αἱ μὲν εἰκόνες ἐν τῇ ἀρχαίᾳ ἱδρύσει καὶ τιμῇ κατέστησαν· ὁ δὲ τούτου υἱὸς Οὐλίδος τοὔνομα, ἀγανακτήσας, ὡς φονέα τοῦ ἰδίου πατρὸς τὸν φαρμακὸν αἰσχίστῳ θανάτῳ ἀναιρεθῆναι ἐκέλευσεν, ἄξια τἀπίχειρα τῆς ψευδομαντείας αὐτοῦ κομισάμενον.

Ὁ ἁγιώτατος ἐπίσκοπος Μεσσήνης εἶπε· κἀγὼ παιδίον ἤμην ἐν Συρίᾳ, ὁπηνίκα ὁ τῶν Σαρρακηνῶν σύμβουλος τὰς εἰκόνας κατέστρεφεν.

Σάββας ὁ εὐλαβέστατος μοναχὸς καὶ ἡγούμενος Στουδίου εἶπε· δέσποτα καὶ ἡμεῖς οἱ ἀνάξιοι δοῦλοι τῆς ἁγιωσύνης ὑμῶν ἐξαιτούμεθα, ἵνα αἱ ἱεραὶ εἰκόνες κατασταθῶσιν ἐν τοῖς τόποις αὐτῶν κατὰ τὴν προτέραν συνήθειαν, καὶ ἵνα λιτανεύωσιν οἱ εὐσεβεῖς Χριστιανοὶ μετ' αὐτῶν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· τί λέγετε τίμιοι ἀδελφοί;

Ἡ ἁγία σύνοδος εἶπε· καὶ ἡμεῖς πάντες συναινοῦμεν.

Πέτρος ὁ ἁγιώτατος πρωτοπρεσβύτερος καὶ τοποτηρητὴς τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης ἀνέγνω ἀπὸ πιττακίου.

*Concil. Tom.* 19.

riabant, qui ad hoc miſſi erant Amiræi: ſicq; incendebant venerabiles iconas, & domos eccleſiarum modo quidem linientes, modo autem eradentes. Quibus auditis pſeudoepiſcopus Nacoliæ, & hi qui circa ipſum erant, imitati ſunt iniquos videlicet Iudæos & impios Arabes, iniuriam inferentes eccleſiis Dei. Iuſtum autem iudico ſacro veſtro intimare auditui, qualem miſer ille finem & veneficus Hebræus ſuſceperit. Cum enim hoc egiſſet ſymbulus Ezidus, non pluſquam duobus annis & dimidio viuens defunctus eſt, & perrexit in ignem æternum. Et imagines quidem in antiquo ſtatu ſuo & honore reſtitutæ ſunt. Porro huius filius Vlidus nomine indignatus, tamquam homicidam ſui patris veneficum turpiſſima morte interfici iuſſit, digna pro facto falſæ diuinationis ſuæ portantem.

Sanctiſſimus epiſcopus Meſſanæ dixit: Et ego puerulus eram in Syria, cum Sarracenorũ ſymbulus imagines ſubuerteret.

Sabbas reuerendiſſimus monachus & hegumenus monaſterii Studii dixit: Domine & nos indigni ſerui ſanctitatis tuæ expetimus, vt ſacræ imagines reſtituantur in locis ſuis iuxta priorẽ conſuetudinem, & vt litanias celebrẽt pii Chriſtiani cum illis.

Taraſius ſanctiſſimus patriarcha dixit: Quid dicitis venerabiles fratres?

Sancta Synodus dixit: Et nos omnes conſentimus.

Petrus Deo amabilis archipreſbyter & loci ſeruator ſanctiſſimi papæ ſenioris Romæ legit ex pittacio.

Tarasio sanctissimo Constantinopoleos nouæ Romæ patriarchæ, atque omni sanctæ huic & vniuersali Synodo Petrus archipresbyter sanctissimæ ecclesiæ sancti ac laudabilis apostoli Petri, & Petrus presbyter & hegumenus monasterii sancti Sabbæ, ambo loci seruatores Hadriani papæ senioris Romæ: Iustum arbitramur, vt secundum pronuntiationem omnium nostrum, imo iuxta antiquam traditionem catholicæ ecclesiæ, sicuti omnes sancti patres edocent nos, veniat in medio nostrum colenda imago, & hanc salutemus: & quemadmodum placuerit vobis, sacerdotes, pronuntiate super hoc. Et aliud capitulum suggerimus, vt omnes conscriptiones, quæ contra venerabiles imagines factæ sunt, cum anathemate deleantur, vel igni tradantur. & de hoc petimus pronuntiari, vt videtur sacræ Synodo.

Sancta Synodus dixit: Veniat, fiat.

Petrus Deo amabilis archipresbyter & loci seruator sanctissimi papæ senioris Romæ dixit: Si iubet sancta vestra Synodus, ponatur crastino venerabilis imago, & omnes salutemus eam.

Sancta Synodus dixit: Fiat, fiat.

Ioannes reuerendissimus monachus presbyter & loci seruator orientalium pontificum dixit: Benedictus Deus, qui glorificauit amatricem Christi Nicensium hanc ciuitatem in die-

Ταρασίῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως νέας Ῥώμης, † καὶ (οἰκουμενικῷ) πατριάρχῃ, καὶ πάσῃ τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ Πέτρος πρωτοπρεσβύτερος τῆς ἁγιωτάτης ἐκκλησίας τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Πέτρου, καὶ Πέτρος πρεσβύτερος καὶ ἡγούμενος τῆς μονῆς τοῦ ἁγίου Σάββα, ἀμφότεροι τοποτηρηταὶ Ἀδριανοῦ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης. Δίκαιον ἡγούμεθα, ἵνα κατὰ τὴν ἐκφώνησιν ἐπισκήψεως ἑκάστου ἡμῶν, μᾶλλον δὲ κατὰ τὴν ἀρχαίαν παράδοσιν τῆς καθολικῆς ἐκκλησίας, καθὼς πάντες οἱ ἅγιοι πατέρες διδάσκουσιν ἡμᾶς, ἔλθῃ ἐν μέσῳ ἡμῶν σεβασμία εἰκών, καὶ ταύτην ἀσπασώμεθα· καὶ ὡς παρίσταται ὑμῖν ἱερεῖς, ἐκφωνήσατε περὶ τούτου. καὶ ἕτερον δὲ κεφάλαιον ἀναφέρομεν, ἵνα πάντα τὰ συγγράμματα τὰ κατὰ τῶν σεπτῶν εἰκόνων γενόμενα, μετὰ ἀναθεματισμοῦ λειανθῶσιν, ἢ τῷ πυρὶ παραδοθῶσι. καὶ περὶ τούτου αἰτοῦμεν ἐκφωνηθῆναι, ὡς δοκεῖ τῇ ἱερᾷ συνόδῳ.

Η ἁγία σύνοδος εἶπεν· ἐλθέτω, γενέσθω.

Πέτρος ὁ θεοφιλέστατος πρωτοπρεσβύτερος καὶ τοποτηρητὴς τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης εἶπεν· εἰ κελεύει ἡ ἁγία σύνοδος, τεθήτω ἀπὸ τῆς αὔριον σεπτὴ εἰκών, καὶ πάντες ἀσπασώμεθα αὐτήν.

Η ἁγία σύνοδος εἶπε· γενέσθω, γενέσθω.

Ιωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπεν· εὐλογητὸς ὁ θεὸς ὁ δοξάσας τὴν φιλόχριστον Νικαέων ταύτην πόλιν ἐν ταῖς ἡμέραις

Anno Christi 787.

† [illegible]

ANNO CHRISTI 787.

Κωνσταντίνου καὶ Εἰρήνης τῶν φιλοχρίστων ἡμῶν βασιλέων. εὐλογητὸς ὁ θεὸς ὁ ἀναδείξας αὐτὴν διπλῆς χάριτος ἀξίαν. τὴν πίστιν πρότερον ὧδε Χριστὸς ἐτράνωσε, νῦν δὲ διὰ τῆς ἁγίας συνόδου ταύτης τὰ τῆς οἰκονομίας αὐτοῦ σύμβολα πᾶσιν ἐφανέρωσεν. Ἄρειος ὁ δύσφημος ἐνταῦθα καθῃρέθη· τῶν θεοστυγῶν εἰκονοκλαστῶν ἡ αἵρεσις ἐνταῦθα ἠφανίσθη. εὐλογητὸς ὁ θεὸς ὁ λέγων διὰ τοῦ ἁγίου ἀποστόλου Ἰωάννου· ἐγώ εἰμι τὸ ἄλφα καὶ τὸ ω μέγα. εὐλογητὸς ὁ θεὸς ὁ κατ' ἀρχὰς ἐνταῦθα καὶ ἐν τῷ τέλει τὴν ὀρθόδοξον πίστιν κρατύνας.

Ἡ ἁγία σύνοδος ἐξεβόησε, κατὰ ἕνα ἕκαστον στίχον ἐκ τρίτου ἐκφωνοῦσα· τῶν θεοφθόγγων πατέρων αἱ διδασκαλίαι ἡμᾶς διωρθώσαντο. ἐξ αὐτῶν ἀρυσάμενοι τὴν ἀλήθειαν ἐποτίσθημεν. αὐτοῖς κατακολουθήσαντες τὸ ψεῦδος ἀπεδιώξαμεν. παρ' αὐτῶν διδαχθέντες τὰς σεπτὰς εἰκόνας ἀσπαζόμεθα. παρ' αὐτῶν ὁδηγηθέντες τὴν κατὰ τιμὴν προσκύνησιν αὐταῖς ἀπονέμομεν. πατέρες κηρύττουσι, τέκνα ὑπακοῆς ἐσμεν, καὶ ἐγκαυχώμεθα ἐν προσώπῳ μητρὸς τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας. πιστεύοντες εἰς ἕνα θεὸν ἐν τριάδι ἀνυμνούμενον, τὰς τιμίας εἰκόνας ἀσπαζόμεθα. οἱ μὴ οὕτως ἔχοντες ἀνάθεμα ἔστωσαν. οἱ μὴ οὕτως φρονοῦντες πόῤῥω τῆς ἐκκλησίας ἐκδιωχθήτωσαν. ἡμεῖς τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς καθολικῆς ἐκκλησίας ἐπακολουθοῦμεν. ἡμεῖς τοὺς θεσμοὺς τῶν πατέρων φυλάττομεν. ἡμεῖς τοὺς προστιθέντας τι, ἢ ἀφαιροῦντας ἐκ τῆς ἁγίας ἐκκλησίας, ἀναθεματίζομεν. ἡμεῖς τὰς σεπτὰς εἰκόνας ἀποδεχόμεθα. ἡμεῖς τὴν ἐπείσακτον καινοτομίαν τῶν

bus Constantini & Irenæ amatorum Christi imperatorum. Benedictus Deus qui exhibuit eam duplici gratia dignam. Fidem prius hic Christus expressius explanauit: nunc autem per sanctam Synodum hanc dispensationis suæ symbola omnibus manifestauit. Arius infamis hic est depositus: Deo perosorum imagines confringentium hæresis hic exterminata est. Benedictus Deus qui dicit per sanctum apostolum Ioannem: *Ego sum Alpha & Omega*. Benedictus Deus, qui hic in primis & in fine fidem orthodoxam confirmauit. Apoc. 1. & 22.

Sancta Synodus exclamauit, per vnumquemque versum ter pronuntians: Diuinitus sonantium patrum doctrinæ nos correxerunt: ex ipsis haurientes veritatem potati sumus: eos sequentes, mendacium persecuti sumus. Ab eis edocti venerabiles imagines salutamus. Ab eis ducti adorationem quæ per honorem fit, eis impendimus. Patres prædicant: filii obedientes sumus, & * congratulamur in facie matris traditioni ecclesiæ catholicæ. Credentes in vnum Deum in Trinitate laudandum, honorabiles imagines salutamus. Qui sic se non habent, anathema sint. Qui ita non sentiunt, procul ab ecclesia propellantur. Nos antiquam legislationem ecclesiæ catholicæ sequimur. Nos iura patrum conseruamus. Nos eos qui addunt vel auferunt ex catholica ecclesia, anathematizamus. Nos venerabiles iconas salutamus. Nos superinductam nouitatem

* Gr. gloriamur in f. m. traditione e. c.

ANNO CHRISTI 787.

Christianos accusantium anathematizamus. Nos eos qui sic se non habent, anathemati submittimus. Christianos accusantibus, id est, imagines confringentibus anathema. His qui assumunt dicta sanctæ scripturæ, quæ sunt contra idola, in venerabiles imagines, anathema. His qui non salutant sanctas ac venerabiles imagines, anathema. His qui appellant sacras imagines idola, anathema. His qui dicunt, quod veluti ad deos Christiani ad iconas accedant, anathema. His qui communicant scienter iniuriam & inhonorantiam inferentibus venerabilibus imaginibus, anathema. His qui dicunt, quod excepto Christo Deo nostro alius eruerit nos ab idolis, anathema. His qui audent dicere catholicam ecclesiam idola aliquando recepisse, anathema.

Multos annos imperatorum. Constantini & Irenæ magnorum principum & imperatorum multos annos.

Pacificorum imperatorum multos annos.

Depositores nouitatis quæ pridem facta est, Domine conforta.

Piam da Domine vitam eis.

χριστιανοκατηγόρων ἀναθεματίζομεν. ἡμεῖς τοὺς μὴ οὕτως ἔχοντας τῷ ἀναθέματι καθυποβάλλομεν. τοῖς χριστιανοκατηγόροις, ἤτοι τοῖς εἰκονοκλάσταις ἀνάθεμα. τοῖς λαμβάνουσι τὰς παρὰ τῆς θείας γραφῆς ῥήσεις, τὰς κατὰ τῶν εἰδώλων, εἰς τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς μὴ ἀσπαζομένοις τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας ἀνάθεμα. τοῖς ἀποκαλοῦσι τὰς ἱερὰς εἰκόνας εἴδωλα ἀνάθεμα. τοῖς λέγουσιν, ὅτι ὡς θεοῖς ταῖς εἰκόσιν οἱ Χριστιανοὶ προσῆλθον, ἀνάθεμα. τοῖς κοινωνοῦσιν ἐν γνώσει τοῖς ὑβρίζουσι καὶ ἀτιμάζουσι τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς λέγουσιν, ὅτι πλὴν Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἄλλος ἐρρύσατο ἡμᾶς ἐκ τῶν εἰδώλων, ἀνάθεμα. τοῖς τολμῶσι λέγειν, τὴν καθολικὴν ἐκκλησίαν εἴδωλά ποτε δεδέχθαι, ἀνάθεμα.

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.

Κωνσταντίνου καὶ Εἰρήνης μεγάλων βασιλέων καὶ αὐτοκρατόρων πολλὰ τὰ ἔτη.

Εἰρηνοποιῶν βασιλέων πολλὰ τὰ ἔτη.

Τοὺς καθαιρέτας τῆς προσγενομένης καινοφωνίας κύριε κράτυνον.

Εὐσεβῆ κύριε ζωὴν αὐτοῖς.

---

## ACTIO SEXTA.

IN nomine Domini & dominatoris Iesu Christi veri Dei nostri. Imperio piissimorum & amicorum Christi dominorum nostrorum Constantini & Irenæ a Deo redimitæ matris eius, anno octauo consulatus eorum, * tertio Nonas Octobrias, indictione XI.

* pridie Nonas, *al.*

## ΠΡΑΞΙΣ ΕΚΤΗ.

ΕΝ ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν. βασιλείας τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν δεσποτῶν Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ θεοστέπτου μητρὸς, ἔτους ὀγδόου τῆς αὐτῶν ὑπατείας, πρὸ δύο νοννῶν Ὀκτωβρίων, ἰνδικτιῶνος ια'.

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN